βίᾳ δ᾽ ὁ καινός μ᾽ οὗτος ἁρπάσας πόσις
Δηίφοβος ἄλοχον εἶχεν ἀκόντων Φρυγῶν.
πῶς οὖν ἔτ᾽ ἂν θνήσκοιμ᾽ ἂν ἐνδίκως, πόσι,
πρὸς σοῦ δικαίως, ἣν ὃ μὲν βίᾳ γαμεῖ,
τὰ δ᾽ οἴκοθεν κεῖν᾽ ἀντὶ νικητηρίων
πικρῶς ἐδούλευσ᾽; εἰ δὲ τῶν θεῶν κρατεῖν
βούλει, τὸ χρῄζειν ἀμαθές ἐστί σοι τόδε.
XO. βασίλει᾽, ἄμυνον σοῖς τέκνοισι καὶ πάτρᾳ
πειθὼ διαφθείρουσα τῆσδ᾽, ἐπεὶ λέγει
καλῶς κακοῦργος οὖσα· δεινὸν οὖν τόδε.
EK. ταῖς θεαῖσι πρῶτα σύμμαχος γενήσομαι
καὶ τήνδε δείξω μὴ λέγουσαν ἐνδίκως.
ἐγὼ γὰρ Ἥραν παρθένον τε Παλλάδα
οὐκ εἰς τοσοῦτον ἀμαθίας ἐλθεῖν δοκῶ,
ὥσθ᾽ ἣ μὲν Ἄργος βαρβάροις ἀπημπόλα,
Παλλὰς δ᾽ Ἀθήνας Φρυξὶ δουλεύειν ποτέ·
αἳ παιδιαῖσι καὶ χλιδῇ μορφῆς πέρι
ἦλυθον ἐπ᾽ Ἴδην. τοῦ γὰρ οὕνεκ᾽ ἂν θεὰ
Ἥρα τοσοῦτον ἔσχ᾽ ἔρωτα καλλονῆς;
πότερον ἀμείνον᾽ ὡς λάβοι Διὸς πόσιν,
ἢ γάμον Ἀθάνα θεῶν τινος θηρωμένη,
ἣ παρθενείαν πατρὸς ἐξῃτήσατο
φεύγουσα λέκτρα; μὴ ἀμαθεῖς ποίει θεὰς
τὸ σὸν κακὸν κοσμοῦσα· μὴ οὐ πείσῃς σοφούς.
Κύπριν δ᾽ ἔλεξας· ταῦτα γὰρ γέλως πολύς·
ἐλθεῖν ἐμῷ ξὺν παιδὶ Μενέλεω δόμους.
οὐκ ἂν μένουσ᾽ ἂν ἥσυχός σ᾽ ἐν οὐρανῷ
αὐταῖς Ἀμύκλαις ἤγαγεν πρὸς Ἴλιον;
ἦν οὑμὸς υἱὸς κάλλος ἐκπρεπέστατος,
ὁ σὸς δ᾽ ἰδών νιν νοῦς ἐποιήθη Κύπρις·

---

965. *σοι* om. *B* 966. *πάτραν* BCG 969. *θεαῖσι* BCG *ταῖς θεαῖσι B* et Aristoteles. 970. *ἔνδικα B* 976. *ἤλυθον ἐπ᾽ Ἴδην*] *ἦλθον ἐπ᾽ ἴδην* BCGb *ἦλθον πρὸς ἴδην B* 978. *λάβοι*] Seidlerus, *λάβῃ* libri. 979. *ἀθηνᾶ* libri *πειρωμένη B* 982. *οὐ*] addidit Seidlerus. 985. *σ᾽*] Hermannus, *γ᾽* libri.